## ια΄. ὅτι τῷ τὸν κατὰ νοῦν ἑλομένῳ βίον καὶ τὸ χαῖρον διαφερόντως ὑπάρχει

-------------------------------------------------------------------------------- **[4.19-20]**

4.19 χαῖρον] χαίρειν Pistelli

Ὅτι τοίνυν τοῖς ἑλομένοις τὸν κατὰ νοῦν βίον 56.13
καὶ τὸ ζῆν ἡδέως μάλιστα ὑπάρχει, δῆλον ἂν γένοιτο ἐν–
τεῦθεν. φαίνεται διττῶς λέγεσθαι τὸ ζῆν, τὸ μὲν κατὰ 56.15
δύναμιν τὸ δὲ κατ᾽ ἐνέργειαν· ὁρῶντα γὰρ εἶναί φαμεν
ὅσα τε ἔχει τῶν ζῴων ὄψιν καὶ δυνατὰ πέφυκεν ἰδεῖν,
κἂν μύοντα τυγχάνῃ, καὶ τὰ χρώμενα τῇ δυνάμει καὶ 56.18
προσβάλλοντα τὴν ὄψιν. ὁμοίως δὲ καὶ τὸ ἐπίστασθαι
καὶ τὸ γιγνώσκειν, ἓν μὲν τὸ χρῆσθαι καὶ θεωρεῖν
λέγομεν, ἓν δὲ τὸ κεκτῆσθαι τὴν δύναμιν καὶ τὴν 56.21
ἐπιστήμην ἔχειν. εἰ τοίνυν τῷ μὲν αἰσθάνεσθαι τὸ
ζῆν διακρίνομεν καὶ τὸ μὴ ζῆν, τὸ δ᾽ αἰσθάνεσθαι
διττόν, κυρίως μὲν τῷ χρῆσθαι ταῖς αἰσθήσεσιν ἄλλως 56.24
δὲ τῷ δύνασθαι (διόπερ φαμὲν αἰσθάνεσθαι καὶ
τὸν καθεύδοντα λέγοντες, ὡς ἔοικε), δῆλον ὅτι καὶ τὸ 57.1
ζῆν ἀκολουθήσει διττῶς λεγόμενον· τὸν μὲν γὰρ ἐγρη–
γορότα φατέον ζῆν ἀληθῶς καὶ κυρίως, τὸν δὲ καθεύ– 57.3
δοντα διὰ τὸ δύνασθαι μεταβάλλειν εἰς ταύτην τὴν
κίνησιν, καθ᾽ ἣν λέγομεν ἐγρηγορέναι τε καὶ τῶν πραγ– 57.5
μάτων αἰσθάνεσθαί τινος.

-------------------------------------------------------------------------------- **[56.13-57.6]**

**56.19** τηι οψει L, corr. *supra lineam* L[1] ‖ **24-25** τὸ χρῆσθαι … τὸ δύνασθαι L ➔ ‖ **24** ταῖς αἰσθήσεσιν] την αισθησιν L ‖ **56.25-57.1** διόπερ φαμὲν αἰσθάνεσθαι < … > καὶ τὸν καθεύδοντα λέγοντες, ὡς ἔοικε καὶ Vitelli, *ex. gr.* <καὶ τὸν ἐγρηγορότα καὶ τὸν καθεύδοντα, διὰ τὸ δύνασθαι εἰς ἄισθησιν μεταβάλλειν αἰσθάνεσθαι> (Vitelli) *vel* <διὰ τὸ ἔχειν τὴν αἄισθησιν καὶ τὸν καθεύδοντα> (Gohlke) ‖ **57.1** καθεύδοντα <ὀρθῶς> λέγοντες Gigon

διὰ τοῦτο καὶ εἰς τοῦτο 57.6
βλέποντες, ὅταν οὖν λέγηταί τι ταὐτὸν ἑκάτερον δυοῖν
ὄντοιν, ᾗ δὲ θάτερον λεγόμενον ἢ τῷ ποιεῖν ἢ τῷ πά– 57.8
σχειν, τούτῳ μᾶλλον ἀποδώσομεν ὑπάρχειν τὸ λεχθέν,
οἷον ἐπίστασθαι μὲν μᾶλλον τὸν χρώμενον τοῦ τὴν 57.10
ἐπιστήμην ἔχοντος, ὁρᾶν δὲ τὸν προσβάλλοντα τὴν
ὄψιν τοῦ δυναμένου προσβάλλειν. οὐ γὰρ μόνον τὸ
μᾶλλον λέγομεν καθ᾽ ὑπεροχὴν ὧν ἂν εἷς ᾖ λόγος, 57.13
ἀλλὰ καὶ κατὰ τὸ πρότερον εἶναι τὸ δὲ ὕστερον, οἷον
τὴν ὑγείαν τῶν ὑγιεινῶν μᾶλλον ἀγαθὸν εἶναί φαμεν,
καὶ τὸ καθ᾽ αὑτὸ τὴν φύσιν αἱρετὸν τοῦ ποιητικοῦ. 57.16
καίτοι τόν γε λόγον ὁρῶμεν ὡς <u>οὐχὶ</u> ἐστι κατηγορού– **οὐχ ᾗ**
μενος ἀμφοῖν, ὅτι ἀγαθὸν ἑκάτερον ἐπί τε τῶν ὠφε– 57.18

λίμων καὶ τῆς ἀρετῆς. καὶ ζῆν ἄρα μᾶλλον φατέον
τὸν ἐγρηγορότα τοῦ καθεύδοντος καὶ τὸν ἐνεργοῦντα 57.20
τῇ ψυχῇ τοῦ μόνον ἔχοντος· διὰ γὰρ ἐκεῖνον καὶ τοῦ—
τον ζῆν φαμεν, ὅτι τοιοῦτός ἐστιν οἷος ἐκεῖνος πάσχειν 57.22
ἢ ποιεῖν.

---------------------------------------------------------------------------------[57.6-23]

**57.6-7** [δια τουτο και εις τουτο βλεποντες] de Strycker ➔ || **8** <το> λεγομενον de Strycker ➔ || **8-9** τῷ ποιεῖν ἢ τῷ] τὸ ποιεῖν ἢ τὸ Arcerius ➔ || **13** <ὁ> λογος de Strycker || **16** ποιητικοῦ] ποιητου L➔ || **17** οὐχὶ] οὐχ ἢ Vitelli; οὐχ εἷς de Strycker ➔ || **17** ᾗ <εἷς> ἐστι Gigon || **18-19** [ὅτι . . . ἀρετῆς] de Strycker ➔ || **20** <δι>ενεργουντα L || **22** ἐκεῖνος <τῷ> Gigon; ἐκείνως Pistelli

οὐκοῦν τό γε χρῆσθαι παντὶ τοῦτ᾽ ἐστίν, 57.23
ὅταν εἰ μὲν ἑνὸς ἡ δύναμίς ἐστι, τοῦτο αὐτὸ πράττῃ
τις, εἰ δὲ πλειόνων τὸν ἀριθμόν, ὃ ἂν τούτων τὸ βέλ— 57.25
τιστον, οἷον αὐλοῖς, ἤτοι μόνον ὅταν αὐλῇ χρῆταί τις
ἢ μάλιστα· ἴσως γὰρ ἐπὶ τούτῳ καὶ τὰ τῶν ἄλλων. 57.27
οὐκοῦν καὶ μᾶλλον χρῆσθαι τὸν ὀρθῶς χρώμενον φα— 58.1
τέον· τὸ γὰρ ἐφ᾽ ὃ καὶ ὡς πέφυκεν ὑπάρχειν τῷ χρω—
μένῳ καλῶς καὶ ἀκριβῶς. ἔστι δὴ καὶ ψυχῆς ἤτοι 58.3
μόνον ἢ μάλιστα πάντων <u>ἔργων</u> τὸ διανοεῖσθαί τε καὶ ἔργον
λογίζεσθαι. ἁπλοῦν ἄρα ἤδη τοῦτο καὶ παντὶ συλλογί— 58.5
ζεσθαι ῥᾴδιον ὅτι ζῇ μᾶλλον ὁ διανοούμενος ὀρθῶς
καὶ μάλιστα πάντων ὁ μάλιστα ἀληθεύων, οὗτος δέ
ἐστιν ὁ φρονῶν καὶ θεωρῶν κατὰ τὴν ἀκριβεστάτην 58.8
ἐπιστήμην· καὶ τό γε τελέως ζῆν τότε καὶ τούτοις
ἀποδοτέον, τοῖς φρονοῦσι καὶ τοῖς φρονίμοις. εἰ δὲ
τὸ ζῆν ἐστι τῷ ζῴῳ γε ταὐτὸν παντὶ ὅπερ εἶναι, δῆλον 58.11
ὅτι κἂν εἴη γε μάλιστα καὶ κυριώτατα πάντων ὁ φρόνι—
μος, καὶ τότε μάλιστα τοῦ χρόνου παντὸς ὅταν ἐνεργῇ
καὶ τυγχάνῃ θεωρῶν τὸ μάλιστα τῶν ὄντων γνώριμον. 58.14

---------------------------------------------------------------------------------[57.23-58.14]

**57.26** οἷον <ὅταν> αὐλοῖς Gigon || **26** [ὅταν αὐλῇ] Gigon || **27** ἐπὶ τούτῳ καὶ τὰ] τοῦτο καὶ ἐπὶ Düring ➔ || **58.2** ὃ καὶ ὡς] ᾧ καὶ ὡς Vitelli ➔ || **4** ἔργων] ἔργον R; {V} ➔ || **5** <συλ>λογίζεσθαι L

ἀλλὰ μὴν ἥ γε τελεία ἐνέργεια καὶ ἀκώλυτος ἐν ἑαυτῇ 58.15
ἔχει τὸ χαίρειν, ὥστε ἂν εἴη ἡ θεωρητικὴ ἐνέργεια
πασῶν ἡδίστη. ἔτι τοίνυν ἕτερόν ἐστιν τὸ ἡδόμενον
πίνειν καὶ τὸ ἡδέως πίνειν· οὐδὲν γὰρ κωλύει μὴ 58.18
διψῶντά τινα μηδὲ οἵῳ χαίρει πόματι προσφερόμενον
πίνοντα χαίρειν, μὴ τῷ πίνειν ἀλλὰ τῷ συμβαίνειν
ἅμα θεωρεῖν ἢ θεωρεῖσθαι καθήμενον. οὐκοῦν τοῦ— 58.21
τον ἥδεσθαι μὲν καὶ ἡδόμενον πίνειν φήσομεν, ἀλλ᾽
οὐ τῷ πίνειν οὐδὲ ἡδέως πίνειν. οὐκοῦν οὕτως καὶ
βάδισιν καὶ καθέδραν καὶ μάθησιν καὶ πᾶσαν κίνησιν 58.24
ἐροῦμεν ἡδεῖαν ἢ λυπηράν, οὐχ ὅσων συμβαίνει λυπεῖ—
σθαι παρουσῶν ἡμᾶς ἢ χαίρειν, ἀλλ᾽ ὧν τῇ παρουσίᾳ
καὶ λυπούμεθα πάντες καὶ χαίρομεν. καὶ ζωὴν οὖν 58.27

ἡδεῖαν ὁμοίως ἐροῦμεν, ἧς ἡ παρουσία τοῖς ἔχουσιν
ἡδεῖα, καὶ ζῆν ἡδέως οὐ πάντας ὅσοις ζῶσι συμβαίνει 59.1
χαίρειν, ἀλλ' οἷς αὐτὸ τὸ ζῆν ἡδὺ καὶ χαίρουσι τὴν
ἀπὸ ζωῆς ἡδονήν. 59.3

--------------------------------------------------------------------------------**[58.15-59.3]**

**58.17** πασων] πασης L || **21** καθήμενον <…> Gigon || **23** πίνειν. <ἔστι δὲ καὶ πίνειν ἡδέως χαίροντα τῷ παρόντι πόματι.> Gigon || **23** ουτω[ς] L

οὐκοῦν τὸ ζῆν ἀποδίδομεν τῷ μὲν 59.3
ἐγρηγορότι μᾶλλον ἢ τῷ καθεύδοντι, τῷ φρονοῦντι
δὲ ἢ τῷ ἄφρονι μᾶλλον, τὴν δ' ἀπὸ ζωῆς ἡδονὴν τὴν 59.5
ἀπὸ τῆς χρήσεως γιγνομένην φαμὲν εἶναι τῆς ψυχῆς·
τοῦτο γάρ ἐστι τὸ ζῆν ἀληθῶς. εἰ τοίνυν καὶ πολλαὶ
ψυχῆς εἰσι χρήσεις, ἀλλὰ κυριωτάτη γε πασῶν ἡ τοῦ 59.8
φρονεῖν ὅ τι μάλιστα. δῆλον τοίνυν ὅτι καὶ τὴν γιγνο–
μένην ἀπὸ τοῦ φρονεῖν καὶ θεωρεῖν ἡδονὴν ἢ μόνην *(10)*
ἢ μάλιστα ἀναγκαῖον ἀπὸ τοῦ ζῆν εἶναι. τὸ ζῆν ἄρα 59.11
ἡδέως καὶ τὸ χαίρειν ὡς ἀληθῶς ἤτοι μόνοις ἢ μάλιστα
ὑπάρχει τοῖς φιλοσόφοις. ἡ γὰρ τῶν ἀληθεστάτων
νοήσεων ἐνέργεια καὶ ἀπὸ τῶν μάλιστα ὄντων πληρου– 59.14
μένη καὶ στέγουσα ἀεὶ μονίμως τὴν ἐνδιδομένην τελειό–
τητα, αὕτη πασῶν ἐστι καὶ πρὸς εὐφροσύνην ἀνυσιμω– 59.16
τάτη. ὥστε καὶ δι' αὐτὸ τὸ χαίρειν τὰς ἀληθεῖς καὶ
ἀγαθὰς ἡδονὰς φιλοσοφητέον ἐστὶ τοῖς νοῦν ἔχουσιν. 59.18

--------------------------------------------------------------------------------**[59.3-18]**

**59.4** τῷ φρονουντι] σωφρονουντι L || **5** μᾶλλον <τῷ ἡδέως ζῶντι μάλλον ἢ τῷ ἀηδῶς ζῶντι> τὴν Gigon || **14** [ἀπὸ] Pistelli || **16-17** ἀνυσιμωτάτη] τῷ φρονεῖν Ross